Ακαδημία Αθηνών / Academy of Athens

προσαυδᾶν. Προσφωνῶ, address, Παρμενίδης 1.23 *καί με θεὰ πρόφρων ὑπεδέξατο, χεῖρα δὲ χειρὶ δεξιτερὴν ἕλεν, ὧδε δ' ἔπος φάτο καί με π ρ ο σ η ύ δ α.*

προσγίγνεσθαι (ἀντίθ.*ἀπογίγνεσθαι*). Προστίθεμαι, be added, Ζήνων 2.1-2-4-6-7 *εἰ γὰρ ἄλλῳ ὄντι ... π ρ ο σ γ έ ν ο ι τ ο, οὐδὲν ἂν μεῖζον ποιήσειεν· μεγέθους γὰρ μηδενὸς ὄντος, π ρ ο σ γ ε ν ο μ έ ν ο υ δέ, οὐδὲν οἷόν τε εἰς μέγεθος ἐπιδοῦναι. καὶ οὕτως ἂν ἤδη τὸ π ρ ο σ γ ι ν ό μ ε ν ο ν οὐδὲν εἴη. εἰ δὲ ἀπογινομένου τὸ ἕτερον μηδὲν ἔλαττον ἔσται μηδὲ αὖ π ρ ο σ γ ι ν ο μ έ ν ο υ αὐξήσεται, δῆλον ὅτι τὸ π ρ ο σ γ ε ν ό μ ε ν ο ν οὐδὲν ἦν οὐδὲ τὸ ἀπογενόμενον* Μέλισσος 7(3)-(4) *ὅτε δὲ μήτε π ρ ο σ γ ί ν ε τ α ι μηδὲν μήτε ἀπόλλυται μήτε ἑτεροιοῦται, πῶς ἂν μετακοσμηθὲν τῶν ἐόντων εἴη; ... οὐδὲ ἀλγεῖ· οὐ γὰρ ἂν πᾶν εἴη ἀλγέον· οὐ γὰρ ἂν δύναιτο ἀεὶ εἶναι χρῆμα ἀλγέον· οὐδὲ ἔχει ἴσην δύναμιν τῷ ὑγιεῖ· οὐδ' ἂν ὅμοιον εἴη, εἰ ἀλγέοι· ἀπογινομένου γάρ τευ ἂν ἀλγέοι ἢ π ρ ο σ γ ι ν ο μ έ ν ο υ, κοὐκ ἂν ἔτι ὅμοιον εἴη.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

προσεδρεύειν. Εἶμαι προσηλωμένος/ἐμμένω, be attached to/persist, Δημόκριτος 191.9-15 *τῇ διανοίᾳ μὴ π ρ ο σ ε δ ρ ε ύ ο ν τ α ... καὶ τῇ μνήμῃ πᾶσαν ὥραν π ρ ο σ ε δ ρ ε ύ ω ν.*

προσήγορος. Βλ. **ποτάγορος.**

προσηνής. Προσηνὴς/φιλικός, gentle/friendly, Ἐμπεδοκλῆς 130.1 *ἦσαν δὲ κτίλα πάντα καὶ ἀνθρώποισι π ρ ο σ η ν ῆ.* Πρβλ. *κτίλος.*

πρόσθεν (ἀντίθ. *ὕστερον*). Πρὶν/προτοῦ, before, Ἡράκλειτος 1 *καὶ π ρ ό σ θ ε ν ἢ ἀκοῦσαι* Παρμενίδης 8.10 *ὕστερον ἢ π ρ ό σ θ ε ν* Μέλισσος 7(2) *ἀλλὰ ἀπόλλυσθαι τὸ π ρ ό σ θ ε ν ἐὸν* Ἐμπεδοκλῆς 139.1 *οἴμοι ὅτι οὐ π ρ ό σ θ ε ν με διώλεσε νηλεὲς ἦμαρ.* || **ἐν τοῖς πρόσθεν.** Στὰ προηγούμενα, to the preceding, Ἀναξαγόρας 12.6 *ὥσπερ ἐ ν τ ο ῖ ς π ρ ό σ θ ε ν μοι λέλεκται.*

προσκέπτεσθαι. Ἐξετάζω/προσέχω, examine/attend to, Δημόκριτος 93 *χαριζόμενος π ρ ο σ κ έ π τ ε ο τὸν λαμβάνοντα, μὴ κακὸν ἀντ' ἀγαθοῦ κίβδηλος ἐὼν ἀποδῷ.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ